*ὁμοιοπάθειαν οὐ μικρὸν οὐδὲ φαῦλον εἰς φιλοτιμίαν αὐχήματος. ἑώρας τὸν βασιλικὸν πόδα, ὡς ἐβέβλητο, καὶ ὅτι αὐτὸς τοῦτο τὸ μέρος ὡς ὑπὲρ τοῦ βασιλέως ἐβέβλησο, καὶ κούφως τὸ ἄλγημα ἔφερες. ἦ που καὶ τὸ τοῦ μεγάλου Παύλου κατὰ καιρὸν ἀνεκήρυττες, ‘νῦν χαίρω ἐν τοῖς παθήμασί μου’ ἐπιβοώμενος, ‘καὶ ἀνταναπληρῶ τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ κυρίου ἐν τῇ σαρκί μου’. ἀλλὰ γὰρ οὐκ ἐνύσταξεν ὁ φυλάσσων σε βασιλεύς, ὅτι μηδ’ αὐτὸς σωματοφυλακῶν ἐπενύσταξας· καὶ ὁ θεὸς οὐκ ἐπὶ πολὺ τὸν δίκαιον ἐγκατέλιπεν, ἀλλ’ ὅλην τὴν ἰσχὺν τὸν ἀθλητὴν ἐπιδείξασθαι, τὸ περὶ τὸν βασιλέα λέγω διάπυρον, καὶ μείζους δέξασθαι τοὺς στεφάνους ἢ τὴν πεῖραν ὑπήνεικεν. ἔνθεν τοι καὶ ἐπεσκέψατό σου τὸ ἄλγημα καὶ ἰάσατό σου τὸ σύντριμμα, καὶ ὁ ἀθλητὴς λαμπροτέραν ὑπὸ τοῦ ἀθλοθέτου βασιλέως ἐκομίσω τὴν ἀνακήρυξιν.*

*Καὶ νῦν Ἰησοῦς χρηματίζεις· τῷ νέῳ Μωυσῇ τῷ τὸν λαὸν κυρίου εἰς* **13**
*γῆν τὴν ἐπηγγελμένην καὶ ξυμποδηγεῖς ποδηγοῦντι καὶ συστραταρχεῖς στρατηγοῦντι καὶ ξυγκρατιστεύεις ἁπανταχοῦ κρατιστεύοντι. διὰ τοῦτον βαρβάροις οὐχ ὑποκύψομεν, διὰ σὲ τοὺς πολεμίους θαρρήσομεν. χάρις δὲ καὶ Μωυσῇ τοὺς ἀλλοφύλους ἐξολοθρεύοντι καὶ Ἰησοῦ τὸν Ἰσραὴλ παραθήγοντι. ἂν τοῦτο τὸ ζεῦγος, ἂν ταύτην τὴν ξυνωρίδα ἐπὶ μακρὸν τηροίη θεός, ταχὺ καὶ γῆν τὴν ἐπηγγελμένην ληψόμεθα.*